μόνον ἑνότης ὀνόματος· τῶν δὲ ὄντων πρὸς τὸν Θεὸν ἔστι τις ὁμοιότητος τρόπος.

Ἔτι, τῶν κυρίως ὁμωνύμων θάτερον οὐ δύναται εἰς τὴν τοῦ ἑτέρου γνῶσιν ἐνάγειν· ἐκ δὲ τῶν πραγμάτων πρὸς τὴν τῶν θείων ἀφικνούμεθα γνῶσιν.

Ἔτι, οὐδὲν ἂν ἐπιχείρημα ἐγίνετο, ἢ μάτην ἐγίνετο περὶ Θεοῦ καὶ τῶν θείων ἀπὸ τῶν ἡμῖν ἐγνωσμένων.

Εἰ δὲ λέγοι τις, ὅτι τοῖς τοιούτοις ὀνόμασιν μόνον τὸ τί οὐκ ἔστι γινώσκομεν περὶ τοῦ Θεοῦ, ἤγουν τῷ ζῶν ὀνόματι δηλοῦμεν μόνον, ὅτι οὐκ ἔστι τῶν ἀψύχων· ἀλλὰ καὶ οὕτω τὸ ζῶν ἀνάγκη τοὐλάχιστον συνέρχεσθαι ἐν τῇ τοῦ ἀψύχου ἀποφάσει περὶ Θεοῦ καὶ τῶν κτισμάτων λεγόμενον· καὶ οὕτως οὐκ ἔστι καθαρῶς ὁμώνυμον· οὐδὲν γὰρ τῶν ὁμωνύμων εἰλικρινῶς οὐδὲ τοιαύτην κοινωνίαν ἔχει.

## XXXIV. — Ὅτι ἀναλογικῶς λέγονται.

Οὕτω τοίνυν δῆλον ἀναλογικῶς πάντα περὶ τοῦ Θεοῦ καὶ τῶν κτισμάτων λέγεσθαι, ὃ μεταξὺ τῆς ὁμωνύμου καὶ συνωνύμου κατηγορίας, καὶ ἔστι κατὰ τάξιν ἢ συστοιχίαν πρὸς ἕν τι· ἢ τοῦ ἑτέρου πρὸς τὸ ἕτερον, ὡς ἡ οὐσία καὶ τὸ συμβεβηκὸς ἀναλογικά εἰσιν, ἢ ἀμφοτέρων ἢ πλειόνων πρὸς ἄλλο τι· ὡς πρὸς τὴν ὑγίειαν τὰ ὑγιεινὰ λεγόμενα, ἤγουν τό τε ὑποκείμενον τῆς ὑγιείας τὸ ζῷον, καὶ τὸ ποιητικὸν ἡ ἰατρική, καὶ τὸ φυλακτικὸν τὸ σιτίον, καὶ τὸ δηλωτικὸν τὸ οὖρον. Τοῦ Θεοῦ δὴ καὶ τῶν κτισμάτων τὰ κατηγορούμενα ἀναλογικῶς λέγονται τῷ προτέρῳ τρόπῳ, ἵνα μὴ ἄλλο τι τιθοῖτο πρότερον τοῦ Θεοῦ· ἀλλ' οὐ τῷ δευτέρῳ, ὅς διπλοῦς ἐστι· ποτὲ μὲν γὰρ τὸ αὐτό ἐστι πρότερον καὶ τῇ φύσει τοῦ πράγματος καὶ τῇ γνώσει τῶν ὀνομάτων, ὡς ἡ οὐσία τοῦ συμβεβηκότος προτέρα καὶ φύσει ὡς αἰτία αὐτοῦ, καὶ γνώσει, ὅτι δι' αὐτῆς ὁρίζεται αὐτό· ποτὲ δὲ τὸ τῇ φύσει πρότερον, ὕστερόν ἐστι τῇ γνώσει. Οὕτως οὖν, ἐπεὶ ἀπὸ τῶν ἄλλων εἰς τὴν θείαν γνῶσιν ἐρχόμεθα, τὸ πρᾶγμα τῶν ὀνομάτων πρότερόν ἐστιν ἐν τῷ Θεῷ κατὰ τὸν αὐτοῦ τρόπον· ὁ δὲ τοῦ ὀνόματος λόγος ὕστερος· ὅθεν καὶ ὀνομάζεσθαι λέγεται ἐκ τῶν αἰτιατῶν αὐτοῦ.

## XXXV. — Ὅτι τὰ πολλὰ ὀνόματα περὶ Θεοῦ οὐκ εἰσὶ πολυώνυμα. f. 23

Ἔτι δὲ δῆλον ἐκ τούτων, ὡς εἰ καὶ τὰ περὶ Θεοῦ ὀνόματα τὸ αὐτὸ σημαίνουσι πρᾶγμα, ἀλλ' οὐκ εἰσὶ πολυώνυμα· οὐ γὰρ τὸν αὐτὸν σημαίνουσι λόγον· κἀντεῦθεν ὁ ἡμέτερος νοῦς, περὶ ἑνὸς πλείω περιλαμβάνων, οὐκ ἔστι ψευδὴς οὔτε μάταιος· τὸ γὰρ ἁπλοῦς ἐκεῖνος θεῖον εἶναι τοιοῦτον

---

33 et 36 et p. 26, l. 3 *πολυώνυμα* sic. S. Thomas: *synonyma*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐστίν, ὥστ' αὐτῷ τινα ἐξομοιοῦσθαι δύνασθαι κατὰ παντοδαπὰ εἴδη· κατὰ διαφόρους τοίνυν νοήσεις ὁ νοῦς, διάφορα εὑρίσκων ὀνόματα, καὶ ἀποδίδωσι τῷ Θεῷ, οὐ κατὰ τὸν αὐτὸν λόγον, ὥστε οὐδὲ πολυώνυμα, εἰ καὶ πρᾶγμα σημαίνει ἕν. Οὐ γάρ ἐστιν ἡ αὐτὴ τοῦ ὀνόματος σημασία, ὅταν τὸ ὄνομα πρότερον σημαίνῃ τὸ περιλαμβανόμενον ὑπὸ τοῦ νοῦ, εἶτα τὸ νοούμενον πρᾶγμα.

## XXXVI. — Ὅτι αἱ προτάσεις, ἃς περὶ τοῦ Θεοῦ εἰδοποιοῦμεν, οὐκ εἰσὶ μάταιοι.

Ἐκ τούτου δὲ καὶ περαιτέρω φανερόν, ὅτι ὁ ἡμέτερος νοῦς περὶ τοῦ ἁπλουστάτου Θεοῦ οὐ μάτην ἀποφάνσεις εἰδοποιεῖ τῷ συντιθέναι καὶ διαιρεῖν, εἰ καὶ ὁ Θεὸς πάντῃ ἐστὶν ἁπλοῦς· εἰ γὰρ καὶ διαφόροις νοήσεσιν εἰς τὴν θείαν ἀνάγεται γνῶσιν ὁ νοῦς ἡμῖν, τὸ ἐκ πάντων μέντοι νοούμενον πάντῃ ἐστὶν ἕν· ὁ γὰρ νοῦς οὐ καὶ τὸν τρόπον ὃν νοεῖ τοῖς νοουμένοις ἀποδίδωσι πράγμασιν· οὐδὲ γὰρ τῷ λίθῳ τὴν ἀϋλότητα, εἰ καὶ ἀΰλως τοῦτον νοεῖ. Οὕτω καὶ ὅταν λέγῃ, ὅτι ὁ Θεός ἐστιν ἀγαθὸς ἢ ἀγαθότης, ἡ ἐν τῇ συνθέσει ταύτῃ ποικιλία πρὸς τὸν νοῦν ἀναφέρεται· ἡ δὲ ἑνότης πρὸς τὸ νοούμενον πρᾶγμα. Ὁμοίως καὶ ὅταν λέγῃ, ὅτι ἀγαθότης ἐστὶν ἐν τῷ Θεῷ· ἀεὶ γὰρ ἡ μὲν διπλόη τῶν τοιούτων λόγων ἁρμόζει τῷ νῷ, ἡ δὲ ἑνότης πρὸς τὸ πρᾶγμα ἀναφέρεται.

## XXXVII. — Ὅτι ὁ Θεὸς ἐστὶν ἀγαθός.

Ἐκ τῶν εἰρημένων καὶ ὅτι ἀγαθός ἐστιν ὁ Θεός, δῆλον· ᾧ γὰρ ἕκαστον ἀγαθὸν λέγεται, ἰδία τις ἐστὶν αὐτοῦ δύναμις· ἡ γὰρ ἑκάστου δύναμίς ἐστιν ἡ ποιοῦσα τὸν ἔχοντα ἀγαθὸν καὶ τὸ ἔργον αὐτοῦ καλὸν ἀποδιδοῦσα· ἡ δὲ δύναμίς ἐστι τελειότης τις ἑκάστου τελείου λεγομένου, ὅταν τὴν οἰκείαν δύναμιν ἔχῃ. Ἐκ τούτου τοίνυν ἀγαθόν ἐστιν ἕκαστον, ὅτι τέλειόν ἐστιν· κἀντεῦθεν ἔστιν, ὅτι ἕκαστον τῆς ἰδίας ἐφίεται τελειότητος ὡς οἰκείου ἀγαθοῦ. Δέδεικται δὲ τὸν Θεὸν εἶναι τέλειον· καὶ ἀγαθὸς ἄρα.

Ἔτι, ὁ Θεὸς πρῶτον κινοῦν ἀκίνητον, ὡς ἐδείχθη· τοῦτο δὲ κινεῖ ὡς ἐφετὸν καὶ ὡς ἀγαθόν· τὸ πρῶτον οὖν ἐφετόν, ὅπερ ἐστὶν ὁ Θεός, ἔστιν ἀληθῶς ἀγαθόν.

f. 23v Ἔτι, ἡ κοινωνία τῆς ἀγαθότητος καὶ τοῦ εἶναι | ἐκ τῆς ἀγαθότητος πρόεισιν· ποιεῖ τε γὰρ ἕκαστον ᾗ ἐνεργείᾳ καὶ τέλειόν ἐστι καὶ ἀγαθόν, καὶ τὸ εἶναι αὐτοῦ καὶ τὴν ἀγαθότητα εἰς τὰ ἄλλα πηγάζει τῷ ποιεῖν αὐτά, προάγον ὅμοια τρόπῳ τινὶ καὶ ἕνεκα τοῦ ἀγαθοῦ, ὑφ' οὗ κινεῖται ὡς τέλους. Ταῦτα δὲ τῷ Θεῷ ἁρμόζει· ὥστε ἀγαθός ἐστιν. Ἐντεῦθέν ἐστι τὸ ἐν ψαλμοῖς· „Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ, τοῖς εὐθέσι τῇ

38 Ps. 62, 1

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καρδίᾳ“. Καὶ ἐν τοῖς Θρήνοις· „Ἀγαθὸς ὁ Θεὸς τοῖς ἐλπίζουσιν ἐπ' αὐτόν, καὶ ψυχῇ ζητούσῃ αὐτόν“.

### XXXVIII. — Ὅτι αὐτός ἐστιν ἡ ἀγαθότης αὐτοῦ.

Ἐντεῦθεν ληφθῆναι δυνατόν, ὅτι αὐτός ἐστιν ἡ ἀγαθότης αὐτοῦ· ἐν ἑκάστῳ γὰρ τὸ εἶναι ἐνεργείᾳ ἐστὶ τὸ ἀγαθὸν αὐτοῦ· ὁ Θεὸς δὲ καὶ ἐνεργείᾳ ἐστὶ καὶ ἐνέργεια καὶ αὐτὸς τὸ εἶναι αὐτοῦ· ἔστιν ἄρα αὐτὴ ἡ ἀγαθότης, οὐ μόνον ἀγαθός.

Ἔτι, ἡ τελειότης τοῦ θείου εἶναι οὐκ ἔκ τινος προσκειμένου αὐτῷ· ἑκάστου δὲ τελειότης ἡ ἀγαθότης αὐτοῦ· ἡ ἀγαθότης ἄρα τοῦ Θεοῦ οὐκ ἔστι προσκείμενον τῇ οὐσίᾳ αὐτοῦ, ἀλλ' ἡ οὐσία αὐτοῦ ἐστιν ἡ ἀγαθότης αὐτοῦ.

Ἔτι, ἕκαστον ἀγαθόν, οὗ οὐκ ἔστιν ἡ ἀγαθότης αὐτοῦ, μετοχῇ λέγεται ἀγαθὸν καὶ προϋποτίθησιν ἑαυτοῦ ἕτερόν τι, οὗ μετέχει· τοῦτο δὲ οὐκ ἐπ' ἄπειρον, ἀλλὰ δεῖ καταντᾶν εἰς τὸ πρῶτον καὶ ἀφ' ἑαυτοῦ καὶ κατ' οὐσίαν ἀγαθόν· τοῦτο δέ ἐστιν ὁ Θεός. Διὸ λέγεται ἐν τῷ κατὰ Ματθαῖον· „Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς, ὁ Θεός“.

### XXXIX. — Ὅτι κακὸν ἐν τῷ Θεῷ οὐ δύναται εἶναι.

Ἐντεῦθεν δῆλον, ὅτι ἐν τῷ Θεῷ οὐ δύναται εἶναι κακόν. Τὸ γὰρ εἶναι καὶ ἡ ἀγαθότης καὶ τὰ κατ' οὐσίαν λεγόμενα οὐδὲν ἀλλότριον ἐν ἑαυτοῖς μεμιγμένον προσίενται, ὥσπερ τὰ κατὰ μετοχὴν ἤγουν τὸ ὂν καὶ τὸ ἀγαθὸν δύνανταί τι ἔχειν παρὰ τὸ εἶναι καὶ τὴν ἀγαθότητα· οὐ δύναται ἄρα ἐν τῷ Θεῷ εἶναί τι μὴ ἀγαθότης, καὶ οὕτως οὐδὲ κακόν.

Ἔτι, τὸ ἀντικείμενον τῇ οὐσίᾳ τινὸς πράγματος οὐ δύναται συμφωνῆσαι αὐτῇ ἕως ἂν μένῃ· ἀλλ' ἡ θεία οὐσία ἐστὶν ἡ ἀγαθότης αὐτή, καὶ ἀΐδιός ἐστιν.

Ἔτι, οὐδὲν κατὰ μετοχὴν λέγεται περὶ τοῦ Θεοῦ, ἀλλ' οὐσιωδῶς, ἐπεὶ αὐτός ἐστι τὸ εἶναι αὐτοῦ· εἰ τοίνυν τὸ κακὸν οὐσιωδῶς ἂν ἦν ἐν τῷ Θεῷ, ἦν ἂν καὶ ἐν τοῖς ἄλλοις οὐσιωδῶς· οὕτω δὲ ἐπιλείποι ἂν τὸ εἶναι, ὅπερ ἐστὶν ἀγαθόν, καὶ οὐ δύνανται συμφωνεῖν.

Ἔτι, ὁ λόγος τοῦ κακοῦ ἐν τῷ ἀτελεῖ συνίσταται, ὡς ὁ τοῦ ἀγαθοῦ ἐν τελειότητι· ἐν δὲ τῷ Θεῷ οὐδεμία ἔνδεια ἢ ἀτέλεια, τελειοτάτῳ ὄντι.

Ἔτι, τὸ κακόν, ἢ στέρησις, ἢ στέρησιν περιέχει· ταύτης δὲ ὑποκείμενον τὸ δυνάμει· τὸ δὲ ἐν τῷ Θεῷ εἶναι οὐ δύναται.

Ἔτι, εἰ τὸ ἀγαθὸν πᾶσιν ἐφετόν, τὸ κακὸν φευκτὸν καὶ παρὰ τὴν f. 16
φύσιν καὶ βίαιον· οὐδὲν δὲ τούτων τῷ Θεῷ προσήκει· τοῦτο δὲ καὶ ἡ

---

1 Thren. 3, 25 17 Matth. 19, 17 35 Après *δύναται*, note à la marge inférieure marquant l'interversion des pages du ms.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Γραφὴ βεβαιοῖ· ἐν γὰρ τῇ πρώτῃ Ἰωάννου καθολικῇ λέγεται· „Ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν“· καὶ ἐν τῷ Ἰώβ· „Ἀπείη τοῦ Θεοῦ ἡ ἀνομία, καὶ τοῦ παντοκράτορος, ἡ ἀσέβεια“.

### XL. — Ὅτι ὁ Θεὸς ἀγαθόν ἐστι παντὸς ἀγαθοῦ.

Δείκνυται δὲ ἐκ τούτων, ὅτι ὁ Θεὸς ἀγαθόν ἐστι παντὸς ἀγαθοῦ· ὡς γὰρ τῇ ἑαυτοῦ τελειότητι πάσας τὰς τῶν ἄλλων περιέχει, ἁπλῶς τέλειος ὤν, οὕτω καὶ τῇ ἑαυτοῦ ἀγαθότητι πάσας ἀγαθότητας περιέχει.

Ἔτι, ἀγαθὰ λέγεται τὰ ἄλλα πάντα, καθόσον ἔχει τῆς θείας τινὰ ὁμοιότητα ἀγαθότητος.

Ἔτι, ἔσχατον τέλος ἐστὶν ὁ Θεός, καὶ ἔσχατον ἀγαθόν· ἐκ δὲ τοῦ ἐσχάτου πάντα λαμβάνει τὸν λόγον ἑαυτῶν. Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ τρίτῳ καὶ τριακοστῷ τῆς Ἐξόδου· „Ἐγὼ δείξω σοι πᾶν ἀγαθόν“. Καὶ ἐν τῇ Σοφίᾳ· „Ἔρχονταί μοι ὁμοίως πάντα τὰ ἀγαθὰ μετ' αὐτῆς.“

### XLI. — Ὅτι αὐτός ἐστι τὸ ἔσχατον ἀγαθόν.

Ὅτι δὲ τὸ ἔσχατόν ἐστιν ἀγαθὸν ὁ Θεός, δῆλον· παραβάλλεται γὰρ ἡ θεία ἀγαθότης πρὸς πάντα τὰ ἄλλα ἀγαθὰ ὥσπερ καθόλου ἀγαθὸν πρὸς μερικόν.

Ἔτι, τὸ κατ' οὐσίαν ἀγαθὸν ἀληθέστερόν ἐστιν ἢ τὸ κατὰ μετοχήν.

Ἔτι, τὸ μέγιστον ἐν ἑκάστῳ γένει αἴτιον τῶν ἐν τῷ αὐτῷ γένει· ἐκ τοῦ Θεοῦ δὲ πᾶσιν ὁ τοῦ ἀγαθοῦ λόγος.

Ἔτι, ἔσχατον ἀγαθὸν τὸ τῷ κακῷ ἀμιγέστερον, ὡς καὶ λευκότατον τὸ τῷ μέλανι ἀμιγέστατον· ἐν δὲ τῷ Θεῷ οὔτε δυνάμει οὔτε ἐνεργείᾳ μέμικται τὸ κακόν· ἐκ γὰρ τῆς ἰδίας οὐσίας ἀμιγής ἐστιν αὐτῷ, ὡς οὐσίαν ἔχων τὴν ἀγαθότητα. Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ Ἐξόδῳ· „Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος“.

### XLII. — Ὅτι ὁ Θεός ἐστιν εἷς.

Τούτου δειχθέντος, φανερόν ἐστι τὸν Θεὸν εἶναι ἕνα μόνον· τὸ γὰρ καθ' ὑπεροχὴν καὶ τὸ ἔσχατον ἐν ἑνὶ μόνῳ εὑρίσκεται· ὁ δὲ Θεός ἐστιν ἔσχατον ἀγαθόν, ὡς δέδεικται.

Ἔτι, εἰ πλείους εἶεν θεοί, πλείω ἔσται τέλεια τοιαῦτα· δέδεικται γὰρ τὸν Θεὸν εἶναι πάντῃ τέλειον· καὶ εἰ οὐδενὶ τούτων ἐνδεῖ τινός, οὐκ ἔσται ᾧ ἀλλήλων διακριθήσονται.

Ἔτι, τὸ δι' ἑνὸς δυνάμενον γίνεσθαι παρέλκον ἐστὶ διὰ πλειόνων γίνεσθαι· ἡ δὲ τῶν πραγμάτων τάξις ἀρκούντως πληροῦται δι' ἑνὸς τοῦ

---

**1** I Ioh. 1, 5 **2** Iob, 34, 10 **13** Exod. 33, 19 Sap. 7, 11 **26** I Reg. 2, 2, non l'Exode

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πρώτου ποιοῦντος καὶ διὰ μιᾶς τῆς πρώτης ἀρχῆς, διὰ πάντων τῇ δυνάμει διϊκνουμένης.

Ἔτι, τῶν διαφόρων καὶ τεταγμένων ἡ πρὸς ἄλληλα | τάξις, εἰ μὴ f. 16v κατὰ συμβεβηκὸς εἴη, ἀνάγεται εἴς τι ἓν πρώτως τάττον· ὥσπερ ἡ τάξις τῶν μερῶν τοῦ στρατοῦ διὰ τὴν τάξιν τοῦ ὅλου στρατοῦ πρὸς τὸν ἡγεμόνα ἐστίν· τὰ δὲ μέρη τοῦ κόσμου τέτακται πρὸς ἄλληλα καθόσον ἕτερα ὑφ' ἑτέρων βοηθοῦνται· οὕτω τὰ κάτω σώματα ὑπὸ τῶν ἀνωτέρων κινοῦνται, κἀκεῖνα ὑπὸ τῶν ἀσωμάτων οὐσιῶν. Οὐκ ἔστι δὲ τοῦτο κατὰ συμβεβηκός, ἀεὶ ὄν, ἢ τῷ μείζονι μέρει· ὅλος ἄρα ὁ κόσμος οὗτος ἕνα τὸν τάττοντα καὶ κυβερνῶντα ἔχει, εἷς ὢν μόνος· πάντων ἄρα εἷς ἐστι διοικητής, ὃν Θεὸν εἶναι φαμέν.

Ἔτι, ἀδύνατον τιθέναι πλείω, ὧν ἑκάτερον ἀνάγκη εἶναι καθ' ἑαυτό· διοίσουσι γάρ τινι, ἵνα ὦσι πλείω, ἐπεὶ κοινωνοῦσι τῇ ἀνάγκῃ τοῦ εἶναι· ἀλλ' ἀδύνατον διαφέρειν, ἕως ἂν τὰ προϋποτεθειμένα περὶ τοῦ Θεοῦ κρατῇ· οὐκ ἄρα πλείους θεοὶ δύνανται εἶναι.

Ἔτι, ἡ τῷ ὀνόματι τοῦ Θεοῦ σημαινομένη φύσις ἢ καθ' ἑαυτήν ἐστιν ἄτομος ἐν τῷ Θεῷ, ἢ καθ' ἕτερόν τι· εἰ καθ' ἕτερον, ἀνάγκη σύνθεσιν εἶναι· εἰ καθ' ἑαυτήν, ἀδύνατον ἄρα ἐστὶν ἑτέρῳ ἁρμόζειν· ὃ γάρ ἐστιν ἀρχὴ τοῦ ποιεῖν ἄτομον οὐ δύναται εἶναι πλειόνων κοινόν· ἀδύνατον ἄρα πλείους εἶναι θεούς.

Ἔτι, ἐὰν ὦσι πλείους θεοί, ἀνάγκη τὴν τῆς θεότητος φύσιν ἐν ἑκάστῳ μὴ εἶναι μίαν τῷ ἀριθμῷ· ἀνάγκη ἄρα εἶναι ἄλλο τι διακρῖνον τὴν θείαν φύσιν ἐν ἑκάστῳ. Ἀλλ' ἀδύνατον· ἡ γὰρ θεία φύσις προσθήκην οὐ δέχεται, οὔτε διαφοράν ἢ οὐσιωδῶν ἢ συμβεβηκότων, ὡς εἴρηται, οὔτε εἶδος ὕλης τινός ἐστιν, ὡς μερίζεσθαι παρὰ τὸν τῆς ὕλης μερισμόν· ἀδύνατον ἄρα πλείους εἶναι θεούς.

Ἔτι, ἑκάστου πράγματος τὸ ἴδιον εἶναι ἓν μόνον ἐστίν· ἀλλ' ὁ Θεός ἐστι τὸ εἶναι αὐτοῦ, ὡς δέδεικται· ἀδύνατον ἄρα εἰ μὴ ἕνα μόνον εἶναι Θεόν.

Ἔτι, ἕκαστον τῶν πραγμάτων ὡς ἔχει τὴν ἑνότητα, οὕτω καὶ τὸ εἶναι· ὅθεν ἕκαστον κατὰ δύναμιν μάχεται τῷ μερισμῷ, ὅς ἐστιν ἀρχὴ τοῦ μὴ εἶναι· ἀλλ' ἡ θεία φύσις ἰσχυροτάτως ἔχει τὸ εἶναι· ἔστιν ἄρα ἐν αὐτῇ ἡ μεγίστη ἑνότης· οὐκ ἄρα εἰς πλείω διακρίνεται ἡ θεία φύσις.

Ἔτι, πᾶν πλῆθος ἀπὸ τῆς ἑνότητος πρόεισιν· ἀνάγκη ἄρα πάντων τῶν ὁπωσοῦν ὄντων ἀρχήν τινα εἶναι μίαν, ἥ ἐστιν ὁ Θεός.

Ἔτι, ἐν ἑκάστῃ ἀρχῇ τὸ ἡγούμενον ἑνότητος ἐφίεται· ὅθεν ἐν ταῖς ἀρχαῖς ἰσχυρότατον ἡ | μοναρχία ἢ βασιλεία. Ἔτι δὲ καὶ πολλῶν μελῶν f. 17 μία ἡ κεφαλή· ἐξ ὧν ὥσπερ σημείων δῆλον, ὡς ᾧ ἁρμόζει ἡ ἀρχή, τούτῳ

21 τῆς 2 fois écrit dans le ms.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἑνότης ὀφείλεται· ὅθεν καὶ τὸν Θεόν, ὅς ἐστι πάντων αἰτία, ἀνάγκη εἶναι ἕνα ὁμολογεῖν.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Δευτερονομίῳ· „Ἄκουε Ἰσραήλ, Κύριος ὁ Θεός σου, κύριος εἷς ἐστι“· καὶ ἐν τῇ Ἐξόδῳ· „Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ“· καὶ ἐν τῇ πρὸς Ἐφεσίους· „Εἷς Κύριος, μία πίστις“. Ἐντεῦθεν ἐλαύνονται καὶ οἱ πολύθεοι Ἕλληνες, εἰ καὶ οἱ πλείους αὐτῶν ἕνα Θεὸν ἄκρον ἔλεγον εἶναι, ἀφ' οὗ πάντας, οὓς θεοὺς ὠνόμαζον, κτισθῆναι διϊσχυρίζοντο, πάσαις ταῖς ἀθανάτοις οὐσίαις τὸ τῆς θεότητος ἐπιγράφοντες ὄνομα, καὶ μάλιστα τῷ λόγῳ τῆς σοφίας καὶ τῆς μακαριότητος καὶ τῆς διοικήσεως· ὅπερ ἔθος τῶν λόγων εὕρηται κἀν τῇ θείᾳ Γραφῇ· ὡς ὅταν οἱ ἅγιοι ἄγγελοι, ἢ καὶ οἱ ἄνθρωποι, ἢ οἱ κριταὶ θεοὶ ὀνομάζονται, κατὰ τὸ ἐν ψαλμοῖς· „Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε“· καὶ ἀλλαχοῦ· „Ἐγὼ εἶπα, θεοί ἐστε“· ὅθεν τῇ ἀληθείᾳ ταύτῃ οἱ Μανιχαῖοι ἐναντιώτεροι, δύο πρώτας ἀρχὰς τιθέντες, ὧν ἡ ἑτέρα τῆς ἑτέρας οὐκ ἔστιν ἀρχή. Ταύτῃ τῇ ἀληθείᾳ καὶ οἱ Ἀρειανοὶ ἐμαχέσαντο, τὸν Πατέρα καὶ τὸν Υἱὸν λέγοντες πλείους εἶναι θεούς, εἰ καὶ τὸν Υἱὸν ἀληθῆ Θεὸν ταῖς τῶν γραφῶν χρήσεσιν ὁμολογεῖν ἠναγκάζοντο.

## XLIII. — Ὅτι ὁ Θεός ἐστιν ἄπειρος.

Ἐπεὶ δὲ τὸ ἄπειρον τῇ ποσότητι ἕπεται, τῷ μὲν λόγῳ τοῦ πλήθους οὐκ ἀποδίδοται τῷ Θεῷ· εἷς γάρ ἐστι μόνον καὶ χωρὶς πάσης συνθέσεως· ἀλλ' οὐδὲ τῷ λόγῳ τοῦ συνεχοῦς· οὔτε γὰρ σῶμά ἐστιν, οὔτε ἐν σώματι, εἰ μὴ κατὰ ἀσώματον μέγεθος· λέγεται γὰρ καὶ ἀσώματόν τι μέγα κατὰ τὸν τῆς ἰδίας τελειότητος τρόπον, καὶ οὕτως ὁ Θεὸς ἄπειρος. Οὐ γὰρ στερητικῶς, ὡς τὸ ἐν ποσότητι ἄπειρον, κατὰ ἀφαίρεσιν τοῦ πεφυκότος προσεῖναι, ὃ ἀτελές ἐστιν· ἀλλ' ἀποφατικῶς, ὡς μὴ ὄντος ὅρου ἢ τέλους τῆς αὐτοῦ τελειότητος, ἀλλ' ἐσχάτου ὄντος τελείου.

Ἔτι, ὁ Θεός ἐστιν ἐνέργεια ἐν οὐδενὶ ὁριζομένη, ὡς οὐδὲ ὑφεστηκυῖα ἐν οὐδενί· καὶ ἄπειρος ἄρα.

Ἔτι, ὡς ἡ πρώτη ὕλη δυνάμει μόνον ἐστίν, οὕτως ὁ Θεὸς ἐνέργεια μόνον. Ἀλλ' ἡ δύναμις τῆς ἐνεργείας ὑπερεκταθῆναι οὐ δύναται, ὥσπερ οὐδ' ἐν ἑκάστῳ, οὕτως οὐδὲ ἁπλῶς· ἀλλ' ἡ πρώτη ὕλη ἄπειρος ἐν τῇ ἑαυτῆς δυνάμει· καὶ ὁ Θεὸς ἄρα ἄπειρος τῇ αὐτοῦ ἐνεργείᾳ.

Ἔτι, πᾶσα ἐνέργεια ᾗ μίγνυται δύναμις τῆς ἑαυτῆς τελειότητος ὅρον
f. 17v ἔχει· ᾗ δὲ δύναμις τὶς | οὐ μίγνυται ὅρον οὐκ ἔχει τῆς τελειότητος· ὁ δὲ Θεὸς ἐνέργεια καθαρά· ὥστε οὔτε ὅρον ἔχει τῆς τελειότητος, καὶ ἑπομένως ἄπειρός ἐστιν.

Ἔτι, τὸ θεῖον εἶναι, καθ' αὑτὸ ἐξ ἀνάγκης ὄν, οὐκ ἔχει αἰτίαν, εἰς ἣν περατοῖτο ἂν καὶ ὁρίζοιτο· ἄπειρον ἄρα διὰ τοῦτό ἐστι καὶ αὐτός.

---

3 Deut. 6, 4 4 Exod. 20, 3 5 Eph. 4, 5 12 Ps. 85, 8 13 Ps. 81, 6

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, ὁ Θεὸς κατὰ τὴν αὐτοῦ οὐσίαν τέλειος καὶ ἀγαθός· οὐδὲν ἄρα ἐπινοηθῆναι βέλτιον αὐτοῦ, ἢ τελειότερον· ἄπειρον ἄρα ἔχει τὴν ἀγαθότητα, καὶ αὐτὸς ἄπειρός ἐστιν.

Ἔτι, τῷ νοεῖν ὁ ἡμέτερος νοῦς ἐπ' ἄπειρον πρόεισιν, προσεπινοῶν ἀεὶ τῇ δεδομένῃ ποσότητι· εἰκῇ δ' ἂν ἦν τοῦτο, εἰ μή τι ἄπειρον ἦν ἐνεργείᾳ νοητόν· τῷ δὲ Θεῷ προσήκει μεγίστῳ εἶναι· ὥστε καὶ ἀπείρῳ.

Ἔτι, οὗ ἡ δύναμις ἄπειρος, καὶ ἡ οὐσία· ὁ δὲ Θεὸς ἄπειρον δύναμιν ἔχει· εἴ τε γὰρ ἀϊδίως κινεῖ τὸν κόσμον, ἀπείρῳ δυνάμει κινεῖ· εἴτε ἐν χρόνῳ δεδημιούργηκεν, ἐξ οὐδεμιᾶς προϋποκειμένης δυνάμεως ἢ ὕλης παρήγαγεν· ὥστε εἰ καὶ τὴν ὕλην παρήγαγεν ἄπειρον ἔχουσαν δύναμιν ἐν τῷ πάσχειν, ἄπειρον δύναμιν αὐτὸς ἔχει ἐν τῷ ποιεῖν, ὅτι οὐδεμίαν προϋποτίθησι δύναμιν.

Ταύτῃ τῇ ἀληθείᾳ καὶ ἡ θεία Γραφὴ μαρτυρεῖ λέγουσα ἐν ψαλμοῖς· „Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας". Ἀλλὰ καὶ οἱ ἀρχαῖοι φιλόσοφοι ἄπειρον εἶναι ὑπετίθεντο τὴν πρώτην ἀρχήν, ὥσπερ ὑπὸ τῆς ἀληθείας ἀναγκαζόμενοι· ἠπατῶντο δὲ τὴν ἀπειρίαν τιθέντες τρόπῳ τῆς διωρισμένης ποσότητος· ὡς Δημόκριτος μὲν τὰς ἀπείρους ἀτόμους ἐτίθει τῶν πραγμάτων ἀρχάς· Ἀναξαγόρας δὲ τὰς ἀπείρους ὁμοιομερείας· ἢ κατὰ τὸ συνεχὲς ποσὸν ἕτεροι στοιχεῖόν τι ὑποτιθέμενοι, ἢ ἄπειρόν τι πλημμελὲς σῶμα, τὴν πρώτην πάντων ἀρχήν. Ἀλλ' ἐπεὶ δέδεικται τοῖς τῶν μετὰ ταῦτα φιλοσόφων λόγοις, ὅτι οὐκ ἔστι τι ἄπειρον σῶμα, καὶ τούτῳ συνάπτεται τὴν πρώτην ἀρχὴν ἄπειρον εἶναι, συμπεραίνεται μήτε σῶμα εἶναι, μήτε δύναμιν ἐν σώματι ἄπειρον, τὴν πρώτην πάντων ἀρχήν.

## XLIV. — Ὅτι ὁ Θεός ἐστι νοῶν.

Ἐκ τῶν προειρημένων δὲ δύναται δείκνυσθαι καὶ ὅτι ὁ Θεός ἐστι νοῶν· δέδεικται γὰρ ἀνωτέρω, ὅτι ἐν τοῖς κινοῦσι καὶ κινουμένοις οὐκ ἔστιν ἐπ' ἄπειρον προϊέναι, ἀλλ' ἀνάγκη ἀνιέναι εἰς ἕν τι πρῶτον κινοῦν ἑαυτό· | τὸ δὲ κινοῦν ἑαυτὸ κινεῖ κατ' ἔφεσιν καὶ γνῶσιν. Ἀλλὰ τὸ πρώτως f. 24
πάντα κινοῦν ἐστὶν ὁ Θεός· καὶ ἑαυτὸν ἄρα κινεῖ πρὸς ἑαυτόν· ἀλλ' οὐ τῇ ἐφέσει τῇ αἰσθητικῇ, ἥ ἐστι τοῦ μερικοῦ ἀγαθοῦ· τῇ νοερᾷ ἄρα, ἥτις ἐστὶ τοῦ ἁπλῶς ἀγαθοῦ καὶ ἐφετοῦ.

Ἔτι, πάντα τὰ ἐν τῷ κόσμῳ κινοῦντα ὡς ὄργανα παραβάλλονται τῷ πρώτως κινοῦντι, ἐν οἷς πολλὰ κατὰ νοῦν κινοῦντα εὑρίσκονται· πολλῷ ἄρα μᾶλλον τὸ πρώτως κινοῦν κατὰ νοῦν κινήσειεν ἄν.

Ἔτι, οὐδεμία τελειότης ἄπεστι τοῦ Θεοῦ, ἡ ἔν τινι γένει τῶν ὄντων εὑρισκομένη· τῶν δὲ τελειοτήτων ἡ μεγίστη, τὸ εἶναι νοητικόν.

---

14 Ps. 144, 3 30 Après *ἑαυτό*, note pour marquer l'interversion

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, τὰ φυσικὰ εἰς ὡρισμένα τείνουσι τέλη· οὔτε οὖν ἀπὸ ταὐτομάτου τοῦτο αὐτοῖς· οὐ γὰρ ἂν ἦν ἐν τοῖς πλείοσιν καὶ ὡς ἐπὶ τὸ πλεῖστον, οὔτε ἀφ' ἑαυτῶν· οὐ γὰρ εἰδότα τὸν λόγον τοῦ τέλους πῶς προϋποθήσει τοῦτο ἑαυτοῖς; οὐκοῦν εἰ ἀπ' ἄλλου, τοῦτο δὲ ἐστὶν ὁ χορηγῶν αὐτοῖς καὶ τὸ εἶναι, Θεός, ἔσται νοῶν· οὐ γὰρ ἂν ἠδύνατο προϋφιστάνειν τῇ φύσει τὸ τέλος, εἰ μὴ ἐνόει.

Ἔτι, τὰ ἐν τοῖς μερικοῖς εἴδη, ἀτελῆ ὄντα, δεῖ προϊέναι ἀπό τινων καθόλου καὶ τελείων· ταῦτα δ' ἂν εἴη νοητά, ἐπειδὴ τὸ εἶδος ἐν τῷ ἰδίῳ καθόλου οὐ δύναται εὑρίσκεσθαι εἰ μὴ ἐν τῷ νῷ, καὶ κατὰ τὸ ἀκόλουθον, αὐτὰ εἶναι νοοῦντα, εἰ ὑφεστήκασιν· οὕτω γὰρ μόνον δύνανται ἐνεργεῖν. Ἀνάγκη ἄρα τὸν Θεόν, ἀφ' οὗ τὰ ἄλλα προΐασιν καὶ ὅς ἐστιν ἐνέργεια εἰλικρινής, νοοῦντα εἶναι.

Λέγεται δὲ καὶ ἐν τῷ Ἰὼβ περὶ τοῦ Θεοῦ· „Σοφός ἐστι καὶ ἰσχυρὸς ἰσχύϊ“· καὶ ἐν τοῖς ψαλμοῖς· „Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ“· καὶ ἐν τῇ πρὸς Ῥωμαίους· „Ὦ βάθους πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ“. Ταύτης δὲ τῆς πίστεως ἡ ἀλήθεια τοσοῦτον ἴσχυσεν ἐν ἀνθρώποις, ὡς ἀπὸ τοῦ νοεῖν τὸ ὄνομα θεῖναι τῷ Θεῷ· καὶ γὰρ τὸ Θεός κατὰ τοὺς Ἕλληνας ἀπὸ τοῦ θεᾶσθαι λέγεται· ὅ ἐστιν ἐπισκέπτεσθαι ἢ ὁρᾶν.

## XLV. — Ὅτι τὸ νοεῖν τοῦ Θεοῦ ταὐτὸν τῇ οὐσίᾳ αὐτοῦ.

Ὅτι τὸ νοεῖν τοῦ Θεοῦ ἡ οὐσία αὐτοῦ ἐστιν· τὸ γὰρ νοεῖν ἐνέργεια ἐστὶ τοῦ νοοῦντος, ἐν αὐτῷ οὖσα, οὐκ ἔξω διαβαίνουσα· ὃ δ' ἐστὶ ἐν τῷ Θεῷ, ἔστιν ἡ θεία οὐσία, καὶ τὸ θεῖον εἶναι, καὶ αὐτὸς ὁ Θεός, ὡς ἐδείχθη πρότερον.

Ἔτι, τὸ νοεῖν πρὸς τὸν νοῦν παραβάλλεται ὡς τὸ εἶναι πρὸς τὴν οὐσίαν· ἀλλὰ τὸ θεῖον εἶναι ἐδείχθη ταὐτὸν τῇ θείᾳ οὐσίᾳ· καὶ τὸ θεῖον
f. 24ᵛ ἄρα νοεῖν ταὐτὸν τῷ θείῳ νῷ, ὅς ἐστιν ἡ θεία οὐσία, | ἵνα μὴ συμβεβηκὸς εἴη ἐν τῷ Θεῷ.

## XLVI. — Ὅτι διὰ τῆς αὐτοῦ οὐσίας, καὶ οὐ δι' ἄλλου νοεῖ.

Ἐντεῦθεν ἐναργές ἐστιν, ὅτι ὁ θεῖος νοῦς οὐδενὶ νοητῷ εἴδει ἑτέρῳ νοεῖ ἢ τῇ ἰδίᾳ οὐσίᾳ· τὸ γὰρ νοητὸν εἶδος ἀρχή ἐστιν εἰδικὴ τῆς νοερᾶς ἐνεργείας· ἡ δὲ θεία νοερὰ ἐνέργεια νοερά, ἡ θεία οὐσία εἶναι ἐδείχθη· ἦν ἂν οὖν ἕτερόν τι τῆς θείας οὐσίας ἀρχὴ καὶ αἴτιον, εἰ ἑτέρῳ τινὶ νοητῷ εἴδει ἢ τῇ ἑαυτοῦ οὐσίᾳ ὁ θεῖος ἐνόει νοῦς· ὃ τοῖς προδεδειγμένοις μάχεται.

Ἔτι, τῷ νοητῷ εἴδει ὁ νοῦς ἐνεργείᾳ νοῶν γίνεται· ὅθεν παραβάλλεται αὐτὸ πρὸς τὸν νοῦν ὡς ἐνέργεια πρὸς δύναμιν· καὶ εἰ ὁ θεῖος νοῦς ἑτέρῳ τινὶ ἔδει νοεῖ ἢ τῇ αὐτοῦ οὐσίᾳ, ἔσται ἐν δυνάμει, ἀποσκοποῦντι πρὸς τὸ νοητόν· ὅπερ ἀδύνατον δέδεικται.

---

13 Iob, 9, 4     14 Ps. 138, 6     15 Rom. 11, 33     33 *νοερὰ ... νοερά* sic

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, τὸ νοητὸν εἶδος, εἰ παρὰ τὴν οὐσίαν εἴη τοῦ νοῦ, συμβεβηκός ἐστιν· ὅθεν καὶ ἡ ἡμετέρα σοφία ἐν τοῖς συμβεβηκόσιν ἀριθμεῖται· ἐν δὲ τῷ Θεῷ οὐδέν ἐστι συμβεβηκός· οὐδ' ἄρα εἶδός τι ἐν τῷ θείῳ νῷ παρὰ τὴν θείαν οὐσίαν.

## XLVII. — Ὅτι τελείως νοεῖ ἑαυτόν.

Ἐκ τούτου περαιτέρω φανερόν ἐστιν, ὅτι τελείως νοεῖ ἑαυτόν· τὸ γὰρ τελείως νοεῖν ἐστὶ τὸ συμμορφοῦσθαι τὸ νοητὸν εἶδος τῷ νοητῷ πράγματι τελείως, εἶτα καὶ τελείως τῷ νῷ συνάπτεσθαι· ἀλλ' αὐτὴ ἡ θεία οὐσία ἐστὶ τὸ νοητὸν εἶδος, ᾧ ὁ θεῖος νοεῖ νοῦς· καὶ ἔστι ταὐτὸν αὐτὴ τῷ Θεῷ, καὶ τῷ αὐτοῦ νῷ πάντῃ ταὐτόν· ἑαυτὸν ἄρα νοεῖ τελειότατα.

Ἔτι, αἱ τῶν ὄντων τελειότητες μάλιστα εὑρίσκονται ἐν τῷ Θεῷ· μία δὲ τῶν τελειοτήτων τῶν ὄντων, τὸ νοεῖν τὸν Θεόν, καὶ ἡ μεγίστη· τιμιώτατον δὲ τῶν νοητῶν ὁ Θεός· ὁ Θεὸς ἄρα μάλιστα νοεῖ ἑαυτόν. Τοῦτο καὶ τῷ θείῳ ῥητῷ βεβαιοῦται· φησὶ γὰρ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους β̄, ὅτι „τὸ Πνεῦμα τοῦ Θεοῦ ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ".

## XLVIII. — Ὅτι πρώτως καὶ καθ' ἑαυτὸν ἑαυτὸν νοεῖ μόνον.

Δῆλον δὲ ἐντεῦθεν, ὅτι ὁ Θεὸς πρώτως καὶ δι' ἑαυτὸν μόνον γινώσκει ἑαυτόν· πρώτως γὰρ καὶ καθ' ἑαυτὸ νοητὸν ἐστὶ τῷ Θεῷ, οὗτινος τῷ εἴδει νοεῖ· ἀλλ' ᾧ ὁ Θεὸς νοεῖ ἡ οὐσία ἐδείχθη εἶναι αὐτοῦ· καὶ τὸ ὑπ' αὐτοῦ ἄρα νοούμενον πρώτως καὶ καθαυτὸ οὐδὲν ἄλλο ἐστὶν ἢ αὐτός.

Ἔτι, τὸ νοητόν ἐστι τοῦ νοοῦντος τελείωσις· ἀλλὰ τοῦ Θεοῦ οὐδέν ἐστι τελείωσις, ἢ τιμιώτερον.

Ἔτι, εἰ πλείω νοητὰ ἀρχικῶς καὶ καθ' ἑαυτὰ γινώσκοιτο τῷ Θεῷ, ἡ σοφία αὐτοῦ ἐκ πολλῶν ἔσται σύνθετος, καὶ ἢ σύνθετος ἔσται ἡ θεία οὐσία, ἢ ἡ σοφία ἔσται | συμβεβηκὸς τῷ Θεῷ· ὧν ἑκάτερον ἀδύνατον· ἓν f. 25
ἄρα πρώτως καὶ δι' ἑαυτὸ γνωστόν ἐστιν αὐτῷ, ἡ οὐσία αὐτοῦ.

Ἔτι, ἡ νοητικὴ ἐνέργεια ἔχει τὸ εἶδος καὶ τὴν ἀξίαν κατ' ἐκεῖνο ὅ ἐστι καθ' ἑαυτὸ καὶ πρώτως γνωστόν· τοῦτο γάρ ἐστι τὸ αὐτοῦ ἀντικείμενον. Εἰ τοίνυν ὁ Θεὸς ἕτερόν τι παρ' ἑαυτὸν καθ' αὑτὸ καὶ πρώτως ἐνόει, ἡ νοητικὴ ἐνέργεια αὐτοῦ ἔσχεν ἂν τὸ εἶδος καὶ τὴν ἀξίαν κατ' ἐκεῖνο, ἕτερον ὂν αὐτοῦ· ἀλλ' ἀδύνατον· ἡ γὰρ ἐνέργεια αὐτοῦ ἐδείχθη εἶναι ἡ οὐσία αὐτοῦ.

## XLIX. — Ὅτι ὁ Θεὸς γινώσκει τὰ ἕτερα ἑαυτοῦ.

Ἐκ τούτου καὶ ὅτι τὰ ἄλλα τὰ παρ' ἑαυτὸν γινώσκει, τιθέναι ἀνάγκη· τὰ γὰρ ἀποτελέσματα ἀρκούντως γινώσκεται τῇ γνώσει τῆς ἰδίας αἰτίας·

---

16 I Cor. 2, 19



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὁ δὲ Θεὸς κατὰ τὴν αὐτοῦ οὐσίαν αἰτία ἐστὶ τοῦ εἶναι τοῖς ἄλλοις, ἣν πληρέστατα νοῶν, καὶ τὰ ἄλλα γινώσκει.

Ἔτι, ἑαυτὸν γινώσκων τελείως ὁ Θεός, γινώσκει καὶ ἑαυτὸν αἰτίαν ὄντα δήπου· τοῦτο δ' οὐκ ἂν εἴη, εἰ μὴ καὶ τὸ αἰτιατὸν γινώσκει ἕτερον ὂν ἑαυτοῦ· οὐδὲν γὰρ αἴτιον ἑαυτοῦ· ὁ Θεὸς ἄρα τὰ ἕτερα ἑαυτοῦ νοεῖ. Φανερὸν οὖν ὅτι ὁ Θεὸς ἑαυτὸν μὲν γινώσκει ὥσπερ πρώτως καὶ καθ' ἑαυτὸ γνωστόν, τὰ δὲ ἕτερα, ὡς ἐν τῇ οὐσίᾳ αὐτοῦ θεωρούμενα. Εἰς τοῦτο τείνει ἡ τοῦ Διονυσίου ἀπόφασις· „ὅτι ἡ θεία σοφία ἑαυτὴν γινώσκουσα, τὰ ἄλλα γινώσκει“· ᾗ μαρτυρεῖ καὶ ἡ Γραφή· καὶ γὰρ ἐν ψαλμοῖς περὶ τοῦ Θεοῦ λέγεται· „Ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ“, ὥσπερ ἐξ ἑαυτοῦ ὕψους ὄντος τὰ ἄλλα ὁρῶν.

## L. — Ὅτι γνῶσιν ἰδίαν ἔχει περὶ ἑκάστου.

Νῦν δεῖξαι λείπεται, ὅτι οὐ καθόλου γινώσκει τὰ ὄντα μόνον ὁ Θεός, ὥς τινες εἶπον, ἀλλὰ καὶ ὡς ἀλλήλων καὶ τοῦ Θεοῦ αὐτοῦ διακρίνονται, τουτέστι καὶ κατὰ τοὺς ἰδίους αὐτῶν λόγους· ὃ δῆλον ἐντεῦθεν· ὁ Θεός ἐστι παντὸς ὄντος αἰτία· ὡς καὶ ἐκ τῶν εἰρημένων δῆλον, καὶ προϊόντες ἄμεινον δείξομεν, καὶ νῦν ὑποκείσθω· ὧν τε καὶ παντὸς τοῦ ἔν τινι ὄντος· ἀλλὰ γνωσθείσης τῆς αἰτίας, γινώσκεται τὸ ἀποτέλεσμα· ὁ Θεὸς ἄρα εἰδὼς ἑαυτὸν ὡς εἴρηται, γινώσκει καὶ πᾶν ὅ ἐστιν ἐν παντὶ πράγματι· τοῦτο δέ ἐστι τὸ ἔχειν ἰδίαν καὶ πεπληρωμένην γνῶσιν περὶ τοῦ πράγματος.

Ἔτι, εἰ ἡ τοῦ ποιοῦντος νοῦ γνῶσις ἀφορίζει τῷ ποιουμένῳ τὸ εἶδος, f. 25v ᾧ | ἔστιν ἅπας ὁ ἴδιος αὐτοῦ λόγος, καὶ ὁ Θεὸς αἴτιός ἐστι κατὰ νοῦν τῶν πραγμάτων καὶ τῶν αὐτοῖς προσόντων πάντων, γινώσκει αὐτά, ᾗ διακεκριμένα εἰσὶ τῶν ἄλλων.

Ἔτι, ἡ τῶν πραγμάτων διάκρισις, οὐκ ἀπὸ τύχης· ὡρισμένην γὰρ ἔχει τάξιν· ἀλλ' ἀπὸ λογισμοῦ αἰτίας τινὸς ἐν γνώσει ποιούσης. Νοῦ δὲ ἴδιον τὴν τῶν πραγμάτων διάκρισιν ἐπισκέπτεσθαι· ἡ πρώτη τοίνυν πάντων αἰτία, ἥτις καὶ πάντα πεποίηκε καὶ πάντα γινώσκει, ὡς διακεκριμένα γινώσκει.

Ἔτι, εἰ μὴ ἰδίαν ἔχει περὶ ἑκάστων γνῶσιν ὡς διακέκρινται, δυνάμει αὐτὰ ἐπιστήσεται μόνον καὶ ἀτελῶς· οὐ γὰρ ὡς ἔχουσιν ἐν ταῖς ἑαυτῶν τελειότησιν.

Ἔτι, εἰ τῷ γινώσκειν ἑαυτὸν γινώσκει καθόλου καὶ τὴν φύσιν τοῦ ὄντος, γινώσκει καὶ τὸ πλῆθος· πλῆθος δὲ ἄνευ διακρίσεως νοεῖσθαι ἀδύνατον.

Ἔτι, παρὰ πᾶσι τοῖς γινώσκουσιν ἔστιν ἡ περὶ τῶν πραγμάτων γνῶσις, καθόσον ἐν τῷ ἰδίῳ πλήθει ἀλλήλων εἰσὶ διακεκριμένα· εἰ μὴ οὖν ἰδίαν

8 Denys, *De div. nom.* c. 7  10 Ps. 101, 20

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γνῶσιν ἔχει περὶ τῶν ποιημάτων ὁ Θεός, χείρων ἔσται τῶν γινωσκόντων πάντων· ὃ εἴπετο καὶ τοῖς τιθεῖσι τὸν Θεὸν μὴ γινώσκειν τὸ νεῖκος, ὃ πάντες γινώσκουσιν, ὡς ὁ Φιλόσοφος ἐλέγχει ἐν πρώτῳ περὶ ψυχῆς· καὶ τρίτῳ τῶν Μετὰ τὰ φυσικά.

Τοῦτο δὲ καὶ τῷ ῥητῷ τῆς Γραφῆς διδασκόμεθα. Ἐν γὰρ τῇ Γενέσει λέγεται· „Εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε· καὶ ἰδοὺ καλὰ λίαν ἦν“· καὶ ἐν τῇ πρὸς Ἑβραίους· „Οὐδεμία κτίσις ἀφανὴς ἐστιν ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ“.

## LI-LIII. — Ποταπὸν πλῆθος νοητῶν ἐν τῷ θείῳ νῷ.

Ἀλλ' ἵνα μὴ τὸ πλῆθος τῶν νοητῶν σύνθεσιν εἰς τὸν θεῖον νοῦν ἐπαγάγοι, καὶ ἵνα πᾶσαι αἱ ψευδεῖς λύοιντο θέσεις τῶν τιθέντων ἐν μόνῳ τῷ θείῳ νῷ εἶναι τὸ πλῆθος τῶν νοητῶν· ἢ οὐδὲν ἐν τῷ θείῳ νῷ εἶναι τοιούτων, ἀλλ' ἔξω τοῦ Θεοῦ εἶναι τὰ νοητὰ εἴδη καθ' αὑτὰ ὑφεστῶτα, ὃ εἰς Πλάτωνα ἀναφέρεται, ἐπισκεπτέον ἡμῖν, ἀπὸ τοῦ ἡμετέρου νοῦ, ὡς οἷόν τε, πρὸς τὴν τοῦ θείου νοῦ προϊοῦσι γνῶσιν. Τὸ τοίνυν ἔξωθεν ἡμῶν νοητὸν οὐχ ὑφίσταται ἐν τῷ ἡμετέρῳ νῷ κατὰ τὴν αὐτοῦ φύσιν, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἐστὶν ἐν τῷ νῷ καθ' ὃ γίνεται ὁ νοῦς ἐνεργείᾳ· καὶ τότε δι' ἰδίου εἴδους νοεῖ τόδε τὸ πρᾶγμα· οὐχ οὕτω δὲ ὥστε τὸ νοεῖν αὐτὸ ἐνέργειαν εἶναι μεταβαίνουσαν εἰς τὸ | νοητὸν πρᾶγμα, ὡς ἡ θέρμη εἰς τὸ f. 26
θερμαινόμενον, ἀλλὰ μένουσαν ἐν τῷ νῷ μετά τινος ἀναφορᾶς πρὸς τὸ νοούμενον πρᾶγμα· καθὸ τὸ εἶδος, ὅ ἐστι τῆς νοητικῆς ἐνεργείας ὡς εἶδος, ὁμοιότης ἐστὶν ἐκείνου. Περαιτέρω δὲ σκεπτέον ἂν εἴη, ὅτι ὁ νοῦς ἐν τῷ νοεῖν, τῷ εἴδει τοῦ πράγματος εἰδοποιηθείς, εἰδοποιεῖ ἐν ἑαυτῷ λογισμόν τινα τοῦ νοηθέντος πράγματος, ὅς ἐστι λόγος αὐτοῦ· ὃν ὁ ὁρισμὸς σημαίνει. Καὶ τοῦτο ἀναγκαῖον ἐστίν, ἐπεὶ ὁ νοῦς ἀδιαφόρως νοεῖ τὸ πρᾶγμα παρὸν καὶ ἀπόν, ἐν ᾧ μετὰ τοῦ νοῦ συνεισέρχεται καὶ ἡ φαντασία· ἀλλ' ὁ νοῦς τοῦτ' ἔχει πλέον, ὅτι νοεῖ τὸ πρᾶγμα ὡς χωριστὸν ἀπὸ τῶν ὑλικῶν ἕξεων, ὧν ἄνευ ἐν τῇ τῶν πραγμάτων οὐχ ὑφίσταται φύσει· καὶ τοῦτο οὐκ ἂν ἦν, εἰ μὴ ὁ νοῦς τὸν προειρημένον λογισμὸν ἑαυτῷ εἰδοποίει· οὗτος δὲ ὁ νοηθεὶς λογισμός, ὥσπερ τις ὅρος ὢν τῆς νοητῆς ἐνεργείας, ἕτερόν ἐστι παρὰ τὸν αὐτὸν εἶδος, ὃ ποιεῖ τὸν νοῦν ἐνεργείᾳ· ὃ προσήκει καταλαμβάνεσθαι, ὡς ἀρχὴν νοητικῆς ἐνεργείας, εἰ καὶ ἑκάτερον τοῦ νοητοῦ πράγματος ὁμοιότης ἐστίν· καθὸ γὰρ τὸ νοητὸν εἶδος, ὅ ἐστιν εἶδος τοῦ νοῦ καὶ τοῦ νοεῖν ἀρχή, ὁμοιότης ἐστὶ τοῦ ἔξω πράγματος, ἕπεται τὸν νοῦν λογισμόν τινα εἰδοποιεῖν ὅμοιον ἐκείνῳ τῷ πράγματι, ἐπειδὴ οἷον ἐστὶν ἕκαστον, τοιαῦτα ποιεῖ· καθὸ δὲ ὁ λογισμὸς ἐκεῖνος ὁ νοηθεὶς ἐστιν ὅμοιος τινὶ πράγματι, ἕπεται τὸν νοῦν εἰδοποιοῦντα τὸν τοιοῦτον λογισμὸν τὸ

---

6 Gen. 1, 31   7 Hebr. 4, 13



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πρᾶγμα ἐκεῖνο νοεῖν. Ὁ δὲ θεῖος νοῦς οὐδενὶ ἑτέρῳ εἴδει νοεῖ ἀλλ' ἢ τῇ θείᾳ οὐσίᾳ, ὡς δέδεικται· ἡ δὲ οὐσία αὐτοῦ τῶν πραγμάτων πάντων ἐστὶν ὁμοιότης· κατὰ τοῦτο τοίνυν ἕπεται, ὅτι ὅπερ ὁ θεῖος νοῦς ἐν ἑαυτῷ συλλαμβάνει καθὸ ἑαυτὸν νοεῖ, ὅπερ ἐστὶν ὁ λόγος αὐτοῦ, οὐ μόνον ἐστὶν ὁμοιότης αὐτοῦ τοῦ νοουμένου Θεοῦ, ἀλλὰ καὶ πάντων ὧν ἐστιν ὁμοιότης ἡ θεία οὐσία· καὶ καθ' ἕνα λογισμὸν νοητόν, ὅς ἐστιν ὁ θεῖος Λόγος, πλείω δύνανται ὑπὸ τοῦ Θεοῦ νοεῖσθαι.

## LIV. — Ὅπως ἡ θεία οὐσία μία καὶ ἁπλῆ οὖσα, ἰδία ὁμοιότης ἐστὶ πάντων τῶν νοητῶν.

Ὁ γὰρ θεῖος νοῦς, ὅπερ ἐστὶν ἴδιον ἑκάστου, ἐν τῇ ἑαυτοῦ οὐσίᾳ δύναται συλλαμβάνειν, ἅμα νοῶν ἐν ᾧ καὶ τῆς ἰδίας τελειότητος ἕκαστον ἀποδεῖ· ὡς λόγου χάριν, νοῶν τὴν ἑαυτοῦ οὐσίαν, ὡς δυναμένην ὁμοίαν f. 26v γίνεσθαι κατὰ τὸν τῆς ζωῆς, | ἀλλ' οὐ κατὰ τὸν τῆς γνώσεως τρόπον, λαμβάνει τὸ ἴδιον εἶδος τοῦ φυτοῦ· εἰ δὲ ὡς δυναμένην ὁμοίως γίνεσθαι κατὰ τὸν τρόπον τῆς γνώσεως ἀλλ' οὐ τοῦ νοῦ, τὸ ἴδιον εἶδος λαμβάνει τοῦ ζῴου· οὕτω δὴ καὶ περὶ τῶν ἄλλων. Οὕτω τοίνυν φανερόν, ὡς ἡ θεία οὐσία, καθόσον ἐστὶν ἀπολελυμένως τελεία, ὡς ἴδιος λόγος ἑκάστου λαμβάνεσθαι δύναται· ὅθεν κατὰ ταύτην ὁ Θεὸς ἰδίαν ἔχει περὶ πάντων γνῶσιν. Ἐπεὶ δὲ ὁ τοῦ ἑνὸς ἴδιος λόγος τοῦ τοῦ ἑτέρου ἰδίου λόγου διακρίνεται, ἡ δὲ διάκρισις πλήθους ἐστὶν ἀρχή, ἀνάγκη ἐν τῷ θείῳ νῷ διάκρισίν τινα καὶ πλῆθος τῶν λόγων νοεῖν, καθὸ τὸ ἐν τῷ θείῳ νῷ ὄν, ἴδιος λόγος τῶν διαφόρων ἐστίν. Καταλείπεται τοίνυν μὴ εἶναι πλείους ἢ διακεκριμένους ἐν τῷ θείῳ νῷ τοὺς τῶν πραγμάτων λόγους, εἰ μὴ καθόσον ὁ Θεὸς γινώσκει τὰ πράγματα πλείοσι καὶ διαφόροις τρόποις αὐτῷ ἐξομοιοῦσθαι δυνάμενα· καὶ διὰ τοῦτο φησὶν Αὐγουστῖνος, ὅτι „ἑτέρῳ λόγῳ τὸν ἄνθρωπον πεποίηκεν ὁ Θεός, καὶ ἑτέρῳ τὸν ἵππον"· καὶ τοὺς τῶν ὄντων λόγους, πεπληθυσμένως ἐν τῷ θείῳ νῷ εἶναι φησίν· ἐν ᾧ ἀμηγέπη καὶ ἡ τοῦ Πλάτωνος σῴζεται δόξα περὶ ἰδεῶν, αἷς τὰ ἐν τοῖς ὑλικοῖς ὑφεστῶτα εἰδοποιεῖται.

## LV. — Ὅτι ὁ Θεὸς ὁμοῦ πάντα νοεῖ.

Ἐκ τούτων περαιτέρω φανερόν, ὅτι ὁ Θεὸς ὁμοῦ πάντα νοεῖ· ὁ γὰρ ἀνθρώπινος νοῦς, ὅταν πλείω τινὰ λαμβάνῃ ἡνωμένα κατά τινα τρόπον, ὁμοῦ ταῦτα νοεῖ· ὁμοῦ γὰρ ὅλον τὸ συνεχὲς νοεῖ, καὶ οὐ τὸ μέρος μετὰ τὸ μέρος· καὶ τὴν πρότασιν ὅλην, καὶ οὐ τὸ ὑποκείμενον πρότερον, εἶτα τὸ κατηγορούμενον· καθ' ἓν γὰρ εἶδος τοῦ ὅλου πάντα περιλαμβάνει τὰ μέρη, ὥστε τὰ ἑνὶ εἴδει γινωσκόμενα πολλὰ ὁμοῦ νοεῖσθαι δύνανται· πολλῷ

26 S. Augustin, *De diversis quaest.* 83, q. 46

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006